# 0345-0407 - Iohannes Chrysostomus - In triduanam resurrectionem domini [1]

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 140 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In triduanam resurrectionem domini

[00001] ΕΙΣ ΤΗΝ ΤΡΙΗΜΕΡΟΝ ΑΝΑΣΤΑΣΙΝ Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Ὁμιλία.

50.821

[00002] Χαίρετε ἐν Κυρίῳ πάντοτε, ἀγαπητοὶ ἀδελφοί·

[00003] πάλιν ἐρῶ, χαίρετε·

[00004] ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε·

[00005] ὁ Κύριος ἐκ νεκρῶν ἐγήγερται, καὶ μετ αὐτοῦ ὄχλος πολὺς ἁγίων.

[00006] Ἑορτάσωμεν οὖν ἡδέως τε καὶ σωφρόνως·

[00007] Αὕτη γὰρ ἀληθῶς ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος·

[00008] ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ·

[00009] κηρύξωμεν τὴν τοῦ Σωτῆρος ἀνάστασιν, μᾶλλον δὲ τὴν ἡμετέραν βοήσωμεν σωτηρίαν·

[00010] κηρύξωμεν τῆς σωτηρίου ἡμέρας τὴν ὑπόμνησιν·

[00011] κηρύξωμεν τὴν νέκρωσιν τοῦ διαβόλου, τὴν τῶν ἀκαθάρτων δαιμόνων αἰχμαλωσίαν, τὴν τῶν Χριστιανῶν σωτηρίαν, τὴν τῶν νεκρῶν ἀνάστασιν.

[00012] Διὰ γὰρ τῆς ἀναστάσεως τοῦ Χριστοῦ σβέννυται μὲν γέεννα πυρὸς, σκώληξ δὲ ἀκοίμητος τελευτᾷ·

[00013] ᾅδης ταράττεται, πενθεῖ διάβολος, ἁμαρτία νεκροῦται, πνεύματα πονηρὰ διώκεται, οἱ ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνατρέχουσιν, οἱ ἐν τῷ ᾅδη ἐλευθεροῦνται τῶν δεσμῶν τοῦ διαβόλου, καὶ Θεῷ προσφεύγοντες, λέγουσι τῷ διαβόλῳ·

[00014] Ποῦ σου, θάνατε, τὸ νῖκος;

[00015] ποῦ σου, ᾅδη, τὸ κέντρον, Αἴτιος δὲ ἡμῖν τῆς ἁγίας ταύτης ἑορτῆς τε καὶ πανηγύρεως ὁ Χριστὸς, ὁ καὶ πάντων ἡμῖν τῶν καλῶν πρόξενος.

[00016] Οὗτος μὲν γὰρ ἡμᾶς καὶ ἐξ ἀρχῆς ἐποίησε, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν·

[00017] οὗτος καὶ νῦν ἀπολλυμένους ἔσωσε·

[00018] νεκρωθέντας ἐζωοποίησε·

[00019] καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἀφείλετο·

[00020] οὗτος δούλους ὄντας ἡμᾶς τῇ ἁμαρτίᾳ, ἐλευθέρους ἐποίησεν, ἐξαλείψας τὸ καθ ἡμῶν χειρόγραφον·

[00021] Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα.

[00022] Ἐφ οἷς ἄξιον καὶ ἡμᾶς εἰπεῖν·

[00023] Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

[00024] Θεὸς ὢν μονογενὴς, ἄνθρωπος δι ἡμᾶς γενέσθαι ηὐδόκησε, καὶ γέγονε ὑπήκοος μέχρι θανάτου, ἵνα ἡμᾶς αἰωνίου θανάτου ῥύσηται·

[00025] δούλου μορφὴν ἐφόρεσεν ὁ τῶν ἀγγέλων Δεσπότης·

[00026] σάρκα προσέλαβεν ὁ Θεὸς Λόγος, καὶ ἄνθρωπος ἐφαίνετο, ὁ σύμμορφος καὶ ὁμοούσιος τῷ Πατρί·

[00027] καὶ ταῦτα ὑπέμεινεν, ἵνα ἡμᾶς τῆς ἀδίκου δουλείας ἐξέληται, καὶ τῆς ἀτιμίας λυτρώσηται·

[00028] διὰ τοῦτο παθεῖν ἠνέσχετο σαρκὶ ὁ τῆς ζωῆς ἡμῶν χορηγός·

[00029] διὰ τοῦτο καὶ ἐτάφη τῆς ἀθανασίας ἡ πηγὴ, ἵνα τοῖς θνητοῖς ἀΐδιον χαρίσηται ζωήν.

[00030] Καὶ παρῆν μὲν ἐπὶ γῆς εὐεργετῶν, καὶ ἰώμενος τῶν ἀνθρώπων τὰ πάθη·

[00031] ἀναξίας δὲ ὑπὸ τῶν θεομάχων Ἰουδαίων ἀπελάμβανε τὰς ἀμοιβάς.

[00032] Ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ πολλὴν ἀγαθότητα λεπροὺς ἐκαθάριζε, τυφλοῖς τὸ βλέπειν ἐχαρίζετο, χωλοὺς ἐθεράπευε, δαίμονας ἀπήλαυνε, τὸν Λάζαρον τετραήμερον ἐκ νεκρῶν ἤγειρε, ἐκ πέντε ἄρτων πεντακισχιλίους ἐχόρτασεν, ἐπὶ θαλάσσης περιεπάτησε, τὸ ὕδωρ εἰς οἶνον μετέβαλε, τὴν αἱμοῤῥοοῦσαν ἰάσατο, τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου θανοῦσαν ἀνεζωοποίησε, καὶ ἄλλα πολλὰ μυστήρια θαύματος ἄξια πεποίηκεν·

[00033] Ἰουδαῖοι δὲ ὑπὸ φθόνου καὶ βασκανίας κινηθέντες, ποτὲ μὲν ἐλίθαζον τὸν Κύριον, ποτὲ δὲ κατακρημνίζειν ἐπειρῶντο, τελευταῖον δὲ καὶ ἐπὶ τὸν σταυρὸν ἤγαγον.

[00034] Ἀλλ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐμιμήσατο τὴν κακίαν τῶν βλασφήμων Ἰουδαίων·

[00035] ἀλλὰ καὶ τὸν νῶτον αὐτοῦ ἐδίδου εἰς μάστιγας, κατὰ τὸν προφήτην, καὶ τὰς σιαγόνας αὐτοῦ εἰς ῥαπίσματα·

[00036] καὶ οὐκ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπὸ αἰσχύνης ἐμπτυσμάτων·

[00037] καὶ τὸ τελευταῖον ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὐκ ἀντιτασσόμενος, οὐκ ἀντιλέγων.

[00038] Βλασφημούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει·

[00039] παρεδίδου δὲ ἑαυτὸν τῷ κρίνοντι, δικαίως.

[00040] Οὐ γὰρ ἦλθεν ἐπὶ τῇ πρώτῃ παρουσίᾳ κολάσαι καὶ τιμωρήσασθαι τοὺς ἀπίστους, ἀλλ ἠθέλησε διὰ μακροθυμίας καὶ ὑπομονῆς ὁδηγῆσαι τοὺς πεπλανημένους ἐπὶ τὴν ἀλήθειαν.

[00041] Καὶ μάθε τοῦ Κυρίου τὴν ἀγαθότητα καὶ τὴν χρηστό [50.822] τητα τὴν μεγάλην.

[00042] Ἐβλασφήμουν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον πρὸς αὐτόν·

[00043] Δαιμόνιον ἔχεις·

[00044] ὁ δὲ Κύριος μακρόθυμος ὢν, τοὺς δαίμονας ἐκ τῶν ἀνθρώπων ἤλαυνεν.

[00045] Ἰουδαῖοι εἰς τὸ πρόσωπον ἐνέπτυον τοῦ Σωτῆρος, αὐτὸς δὲ τοὺς τυφλοὺς αὐτῶν ἐθεράπευεν·

[00046] Ἰουδαῖοι τὸν Χριστὸν ἐλίθαζον, ὁ δὲ Χριστὸς τοῖς χωλοῖς αὐτῶν τὸ τρέχειν ἐχαρίζετο·

[00047] καὶ διόλου διετέλεσεν εὐεργετῶν τοὺς ὑβρίζοντας, καὶ ἀντὶ κακῶν ἀγαθὰ δωρούμενος τοῖς ἀχαρίστοις ἐκείνοις καὶ μιαροῖς ἀνθρώποις·

[00048] ἀνεξικάκως δὲ φέρων λοιδορίας, ἴσως καὶ ἀσθενὴς ἐνομίζετο ὁ ὑπ ἀγγέλων δορυφορούμενος.

[00049] Καὶ ἵνα μὴ πολλὰ λέγοντες δόξωμεν μηκύνειν τὸν λόγον, ἔλθωμεν εἰς αὐτὰ τὰ κεφάλαια τῶν πραγμάτων.

[00050] Τέλος γοῦν ἤγετο ἐπὶ τὸν σταυρὸν καὶ θάνατον ὁ τῆς δόξης βασιλεὺς, καὶ προσηλοῦται τῷ ξύλῳ ὁ ὑπὸ τῶν Χερουβὶμ καὶ Σεραφὶμ δοξολογούμενος, καὶ ὑπὸ πασῶν δυνάμεών τε καὶ ἀγγέλων προσκυνούμενος·

[00051] ταῦτα δὲ πραέως ὑπέμεινέ τε καὶ ἔπασχεν, ἡμῖν ὑπογραμμὸν παρέχων, καὶ διδάσκαλος ἐπιεικείας γενόμενος.

[00052] Διὰ τοῦτο οὖν καὶ ἡμεῖς ὀφείλομεν γενναίως φέρειν τὰς τῶν πονηρῶν ἀνθρώπων ἀπειλάς.

[00053] Ἀλλὰ γὰρ καὶ ἐπὶ τοῦ σταυροῦ κρεμασθεὶς μείζονα ἔργα καὶ πλείονα θαύματα ἐπεδείξατο, ἵνα κἂν οὕτως παύσῃ τῶν θεοστυγῶν τὴν μανίαν, ὥστε μὴ ἔχειν αὐτοὺς πρόφασιν τῆς ἀπιστίας, μήτε λέγειν, ὅτι ψιλὸν ἄνθρωπον ἐσταύρωσαν.

[00054] Πρῶτον μὲν οὖν ἠνέσχετο ὁ Χριστὸς σταυρωθῆναι καὶ εἰς τὸν ἀέρα ἐπαρθῆναι, ἵνα τοὺς ἐν τῷ ἀέρι δαίμονας φυγαδεύσῃ·

[00055] ἐκρεμάσθη ἐπὶ ξύλου, ἵνα τὴν πάλαι διὰ ξύλου προσγενομένην τοῖς ἀνθρώποις ἁμαρτίαν ἰάσηται·

[00056] ἐνύγη δὲ καὶ τῇ λόγχῃ τὴν πλευρὰν, διὰ τὴν ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ληφθεῖσαν γυναῖκα.

[00057] Ἐπειδὴ γὰρ ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν, ἡ δὲ Εὔα τὸν Ἀδὰμ παραβῆναι παρεσκεύασεν (ἐξῆλθε δὲ ἀπόφασις κατ αὐτῶν ἀμφοτέρων, καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας), διὰ τοῦτο τιτρώσκεται ἡ πλευρὰ, ἵνα μάθωμεν, ὅτι οὐ μόνον ἀνδράσιν ἤνεγκε σωτηρίαν τὸ πάθος τοῦ Χριστοῦ, ἀλλὰ καὶ γυναιξίν.

[00058] Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα.

[00059] Καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε·

[00060] σωθήσεται δὲ διὰ τῆς τεκνογονίας.

[00061] Ποίας τεκνογονίας, εἰ μὴ διὰ τῆς τεκνογονίας Μαρίας;

[00062] αὕτη γὰρ τὸν Σωτῆρα Χριστὸν ἐτεκνώσατο, οὐκ ἀνδρὶ συνελθοῦσα, ὡς Ἡσαΐας μαρτυρεῖ, ἀλλὰ Πνεύματος ἁγίου ἐπισκιάσαντος αὐτῇ, καθὼς Γαβριὴλ ὁ ἀρχάγγελος εὐηγγελίσατο Διὰ ταύτην οὖν τὴν πρόφασιν καὶ ἡ πλευρὰ πλήσσεται τοῦ Χριστοῦ, ἵνα καὶ τὰ προειρημένα οἰκονομηθῇ, καὶ τὸ μυστήριον τοῦ βαπτίσματος κηρυχθῇ, καὶ ἡ χάρις ἡ μέλλουσα λάμψῃ.

[00063] Πηγάζει γὰρ αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ, ἵνα καὶ τὸ καθ ἡμῶν χειρόγραφον τῆς ἁμαρτίας ἀπαλείψῃ, καὶ τῷ αἵματι αὐτοῦ καθαρισθῶμεν, καὶ τὸν παράδεισον ἀπολάβωμεν.

[00064] Ὢ μυστηρίου μεγάλου! μετενόησεν ὁ λῃστὴς, χρεία ἦν ὕδατος, ἵνα βαπτισθῇ·

[00065] ἐπὶ τοῦ σταυροῦ ἐκρέματο, οὐκ ἦν ἕτερος τόπος βαπτίσματος, οὐ πηγὴ, οὐ λίμνη, οὐκ ὄμβρος, οὐχ ὁ τὴν μυσταγωγίαν ἐκτελῶν·

[00066] πάντες γὰρ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἔφυγον οἱ μαθηταί·

[00067] ἀλλ οὐκ ἠπόρησεν ὁ Ἰησοῦς ναμάτων, ἀλλὰ καὶ ἐπὶ σταυροῦ κρεμάμενος δημιουργὸς ὑδάτων γέγονεν.

[00068] Ἐπειδὴ γὰρ οὐχ οἷόν τε ἦν εἰσελθεῖν εἰς τὴν βασιλείαν τὸν λῃστὴν δίχα βαπτίσματος, ἐχρῆν δὲ τὸν μετανοήσαντα μὴ ἀμοιρῆσαι τοῦ βαπτίσματος, ὕδωρ καὶ αἷμα προήκατο τῆς νυγείσης αὐτοῦ πλευρᾶς ὁ Σωτὴρ, ἵνα καὶ τὸν λῃστὴν ἐλευθερώσῃ τῶν ἐπηρτημένων κακῶν, καὶ τὸ αἷμα αὐτοῦ λύτρον ἀποδείξῃ [50.823] γενόμενον τῶν εἰς αὐτὸν τὰς ἐλπίδας ἐχόντων.

[00069] Εἰ γὰρ τὸ αἷμα ταύρων, καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα, τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς κάθαρσιν·

[00070] πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ Σωτῆρος ἡμῶν καθάρσιον γέγονε πάντων ὁμοῦ τῶν Χριστιανῶν;

[00071] Ἐὰν οὖν εἴπῃ σοί τις τῶν ἀπίστων, Διὰ τί ἐσταυρώθη ὁ Χριστός;

[00072] εἰπὲ αὐτῷ·

[00073] Ἵνα σταυρώσῃ τὸν διάβολον.

[00074] Ἐὰν εἴπῃ σοι, Διὰ τί ἐκρεμάσθη ἐπὶ ξύλου;

[00075] εἰπὲ αὐτῷ·

[00076] Ἵνα τὴν διὰ ξύλου προσγινομένην ἁμαρτίαν ἐν τῷ παραδείσῳ ἀνακαλέσηται.

[00077] Ἐὰν εἴπῃ σοι, Διὰ τί καὶ ἀκάνθας ἐφόρεσεν;

[00078] εἰπὲ αὐτῷ·

[00079] Ἵνα τὰς ἀκάνθας καὶ τοὺς τριβόλους τοῦ Ἀδὰμ ἐκριζώσῃ·

[00080] ἐκεῖνος γὰρ στένειν καὶ τρέμειν κατεδικάσθη, καὶ ἀκάνθας καὶ τριβόλους γεωργεῖν.

[00081] Ἰησοῦς οὖν φιλάνθρωπος ὢν, τοῦ ἰδίου ποιήματος θέλων προνοήσασθαι, πάντα ὑπέστη δι ἡμᾶς, ἵνα ἡμᾶς καταδίκης ἐλευθερώσῃ.

[00082] Ὥσπερ γὰρ ἐγεννήθη διὰ γυναικὸς, ἵνα τὴν ἐκ γυναικὸς προσγενομένην ἁμαρτίαν τοῖς ἀνθρώποις ἀπαλείψῃ·

[00083] οὕτω καὶ ταῖς ἀκάνθαις στεφανοῦται, ἵνα τὴν κακῶς γεωργηθεῖσαν ὑπὸ τῆς παρακοῆς γῆν διὰ τῆς ἰδίας ὑπακοῆς ἡμερωτέραν ἐργάσηται.

[00084] Ἐὰν δὲ εἴπῃ σοι, Χολὴν καὶ ὄξος διὰ τί ἔπιεν;

[00085] εἰπὲ αὐτῷ·

[00086] Ἵνα ἡμεῖς τὸν θανατηφόρον ἰὸν ἐξεμέσωμεν τοῦ δράκοντος·

[00087] ἡ γὰρ χολὴ ἐκείνη ἐμὸν γέγονε γλύκασμα, καὶ τὸ ὄξος ἐκεῖνο ἐμὸν γέγονεν ἴαμα.

[00088] Ἐὰν δέ σοι εἴπῃ πάλιν ὁ ἄπιστος, Διὰ τί καὶ κοκκίνην ἐνεδύσατο χλαμύδα, καὶ διὰ τί ἐγονυπέτουν προσιόντες αὐτῷ, εἰπὲ αὐτῷ·

[00089] Ἵνα καὶ μὴ θέλοντες αὐτῷ προσκυνήσωσιν οἱ Ἰουδαῖοι, καὶ τὴν βασιλείαν αὐτοῦ καὶ ἄκοντες ἐπὶ γῆς ὁμολογήσωσι.

[00090] Νῦν μὲν χλευάζοντες προσεκύνουν οὐκ εἰδότες ἅπερ ἔπραττον·

[00091] ἐν δὲ τῇ μελλούσῃ ἀναστάσει πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.

[00092] Ἀμήν.

[00093] Ἔχει δὲ καὶ ἡ χλαμὶς ἐκείνη καὶ ἕτερον αἴνιγμα·

[00094] οὐ μόνον γὰρ τὴν βασιλείαν ὑπετύπου, ἀλλὰ γὰρ καὶ τὸ αἱμοβόρον καὶ φονῶδες τῶν Ἰουδαίων ἐπεδείκνυτο.

[00095] Ἔδωκαν δὲ καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, ἵνα γραφῶσιν αὐτῶν αἱ ἁμαρτίαι.

[00096] Ταῦτα μὲν οὖν οἱ Χριστομάχοι ἐποίουν, ἀγνοοῦντες τὸν σταυρούμενον, μᾶλλον δὲ ἑκουσίως ἀποτυφλωθέντες·

[00097] ἡ δὲ κτίσις οὐκ ἠγνόησε τὸν ἑαυτῆς Δεσπότην τε καὶ δημιουργόν.

[00098] Ἔτι γὰρ τοῦ Σωτῆρος ἐπὶ τοῦ σταυροῦ κρεμαμένου, θεωρήσας ὁ ἥλιος ὁ αἰσθητὸς τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν ὑπὸ τῶν παρανόμων ὑβριζόμενον, μὴ φέρων τὸ τόλμημα, φεύγει σκοτίσας τὴν γῆν, καὶ ἄτοπον ἡγησάμενος [50.824] συνεργεῖν, καὶ φωτίζειν ὀφθαλμοὺς τοὺς τὴν μεγίστην ἀσεβοῦντας ἀσέβειαν.

[00099] Οὐ μόνον δὲ ὁ ἥλιος ἔφυγεν, ἀλλὰ καὶ ἡ γῆ ἐκλονεῖτο, μὴ φέρουσα τὴν ἀνομίαν τῶν δρωμένων, ἐνδεικνυμένη δὲ καὶ διδάσκουσα ὅτι Θεὸς ἦν ὁ σταυρούμενος·

[00100] διὸ καὶ οὐκ ἠνείχετο, ἀλλ ἐχαλέπαινε, μὴ θέλουσα φέρειν ἐφ ἑαυτῆς τοὺς θεοστυγεῖς Ἰουδαίους.

[00101] Οὐχ οὕτω γὰρ ἀδελφοκτονήσας ἔχρανεν ὁ Κάϊν τὴν γῆν, οὐδ οὕτως ἐβάρησεν αὐτὴν ἡ τῶν γιγάντων πυργοποιία, οὐδ οὕτως αὐτὴν ἐμόλυναν ἀθεμιτουργήσαντες Σοδομῖται, οὐδ αὐτοὶ οἱ τὰ εἴδωλα πλάσαντες ἐξ αὐτῆς·

[00102] οὐ τὸ αἷμα Ζαχαρίου καὶ Ἄβελ ἐκχυθὲν ἐβάρησεν αὐτὴν οὕτως ὅσον Ἰουδαῖοι, τὸ μέγα τοῦτο τολμήσαντες ἀσέβημα.

[00103] Διὰ γὰρ τοῦτο καὶ αἱ σκληραὶ πέτραι ἐσχίζοντο, ἵνα μάθωσιν ὅτι οὗτός ἐστιν ἡ πνευματικὴ καὶ ζῶσα πέτρα.

[00104] Ἔπινον γὰρ, φησὶν, ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας·

[00105] ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

[00106] Ὦ τῆς Ἰουδαίων ἀγνωμοσύνης! αἱ πέτραι ἐσχίσθησαν, καὶ οὗτοι ἀναισθητοῦσι·

[00107] τὰ ἄψυχα κλονεῖται, καὶ οἱ ἔμψυχοι ἀπιστοῦσι·

[00108] τὸ καταπέτασμα τοῦ ναοῦ ῥήγνυται, ἵνα λοιπὸν ἡ ἐρήμωσις αὐτῶν δειχθῇ.

[00109] Ἐσχίσθη γὰρ τὸ καταπέτασμα, καὶ ἐγυμνώθη τὰ ἐν τῷ ναῷ διὰ τὸν εἰπόντα Χριστόν·

[00110] Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.

[00111] Καὶ γὰρ καὶ ἠρήμωται μετὰ τὴν χριστοκτονίαν πάντα τὰ τῶν Ἰουδαίων σεμνὰ, καὶ οἱ παραμένοντες τῇ πόλει καὶ τῷ ἱερῷ ἄγγελοι μετέβησαν ἐκεῖθεν, καὶ ἦλθον εἰς τὴν Ἐκκλησίαν.

[00112] Πολλὰ δὲ σώματα τῶν κεκοιμημένων ἁγίων συνηγέρθη Χριστῷ, ἵνα μάθωμεν ἡμεῖς, ὅτι Χριστὸς ἀποθανὼν μόνος οὐκ ἀνίσταται, ἀλλὰ Πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας ἐκ νεκρῶν ἀνίστησιν.

[00113] Αὕτη, ὡς ἐν κεφαλαίῳ, ἐστὶν ἡ σεμνὴ τοῦ Πάσχα ἑορτὴ, καὶ ταῦτα Χριστιανῶν τὰ μυστήρια, περὶ ἀναστάσεως νεκρῶν καὶ ζωῆς αἰωνίου πανηγυρίζομεν.

[00114] Τοιγαροῦν ἑορτάσωμεν μὴ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, πιστεύοντες εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, εἰς Τριάδα ὁμοούσιον, ἄκτιστον·

[00115] πιστεύοντες τῇ ἀναστάσει, προσδοκῶντες τὸν Κύριον πάλιν ἐρχόμενον, οὐκέτι μέντοι ταπεινῶς, ἀλλ ἐνδόξως μετὰ λαμπρότητος οὐρανίου, μετὰ φωτεινῶν ἀγγέλων, μετὰ σάλπιγγος καὶ φόβου καὶ χαρᾶς·

[00116] χαρᾶς μὲν τῶν ἁγίων καὶ δικαίων, φόβου δὲ τῶν ἀδίκων καὶ ἁμαρτωλῶν.

[00117] Ὁ Θεὸς δὲ τῆς εἰρήνης πάντας ἡμᾶς καταξιώσειε τῆς μετὰ ἁγίων ἀναστάσεως, ἐν ἔργοις καλοῖς εὑρεθέντας, καὶ πίστει ὀρθοδόξῳ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ οὗ δόξα, τιμὴ καὶ προσκύνησις τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00118] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In triduanam resurrectionem domini [1]**

**Litterarum Omnium Conspectus: 122 Litterae, quae repetitae sunt in 9,134 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 715 | Α | 0913 | 6 |
| β | 0946 | 48 | Β | 0914 | 1 |
| γ | 0947 | 182 | Γ | 0915 | 1 |

| | | | | | |
|---|---|---|---|---|---|
| δ | 0948 | 167 | Δ | 0916 | 0 |
| ε | 0949 | 442 | Ε | 0917 | 6 |
| ζ | 0950 | 28 | Ζ | 0918 | 1 |
| η | 0951 | 139 | Η | 0919 | 2 |
| θ | 0952 | 122 | Θ | 0920 | 6 |
| ι | 0953 | 327 | Ι | 0921 | 3 |
| κ | 0954 | 295 | Κ | 0922 | 19 |
| λ | 0955 | 219 | Λ | 0923 | 2 |
| μ | 0956 | 288 | Μ | 0924 | 3 |
| ν | 0957 | 787 | Ν | 0925 | 5 |
| ξ | 0958 | 36 | Ξ | 0926 | 0 |
| ο | 0959 | 613 | Ο | 0927 | 5 |
| π | 0960 | 251 | Π | 0928 | 13 |
| ρ | 0961 | 360 | Ρ | 0929 | 2 |
| ς | 0962 | 359 | • | 0930 | 0 |
| σ | 0963 | 325 | Σ | 0931 | 11 |
| τ | 0964 | 677 | Τ | 0932 | 9 |
| υ | 0965 | 167 | ϒ | 0933 | 2 |
| φ | 0966 | 60 | Φ | 0934 | 0 |
| χ | 0967 | 67 | Χ | 0935 | 28 |
| ψ | 0968 | 9 | Ψ | 0936 | 0 |
| ω | 0969 | 146 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 5 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 108 | έ | 8051 | 102 | ή | 8053 | 39 | ί | 8055 | 165 | ό | 8057 | 83 | ύ | 8059 | 64 | ώ | 8061 | 26 |
| ὰ | 8048 | 96 | ὲ | 8050 | 50 | ὴ | 80852 | 69 | ὶ | 8054 | 153 | ὸ | 8056 | 96 | ὺ | 8058 | 23 | ὼ | 8060 | 2 |
| ᾶ | 8118 | 21 | | | 0 | ῆ | 8134 | 55 | ῖ | 8150 | 45 | | | 0 | ῦ | 8166 | 89 | ῶ | 8182 | 78 |
| ἀ | 7936 | 109 | ἐ | 7952 | 129 | ἠ | 7968 | 10 | ἰ | 7984 | 43 | ὀ | 8000 | 3 | ὐ | 8016 | 73 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 16 | ἑ | 7953 | 7 | ἡ | 7969 | 48 | ἱ | 7985 | 17 | ὁ | 8001 | 37 | ὑ | 8017 | 22 | ὡ | 8033 | 4 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 3 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἄ | 7940 | 14 | ἔ | 7956 | 15 | ἤ | 7972 | 6 | ἴ | 7988 | 10 | ὄ | 8004 | 7 | ὔ | 8020 | 3 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 2 | ἥ | 7973 | 3 | ἵ | 7989 | 20 | ὅ | 8005 | 7 | ὕ | 8021 | 13 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 7 | ἶ | 7990 | 4 | | | 0 | ὖ | 8022 | 7 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 8 | | | 0 | ὗ | 8023 | 6 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 3 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 23 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 9 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 13 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 25 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.
**0345-0407 - Iohannes Chrysostomus - In triduanam resurrectionem domini [1]**
**Verborum Omnium Conspectus: 860Verba, quae repetita sunt in 3,617,345 occasionibus**

**ἀΐδιον** [00029]
**Ἄβελ** [00102]
**ἀγαθὰ** [00047]
**ἀγαθότητα** [00032] [00041]
**ἀγαθῷ** [00117]
**ἀγαλλιασώμεθα** [00008]
**ἀγαπητοὶ** [00002]
**ἄγγελοι** [00111]
**ἀγγέλων** [00025] [00048] [00050] [00115]
**ἁγιάζει** [00069]
**ἁγίας** [00015]
**ἅγιον** [00114]
**ἁγίου** [00062]
**ἁγίων** [00005] [00112] [00116] [00117]
**ἀγνοοῦντες** [00096]
**ἀγνωμοσύνης** [00106]
**Ἀδὰμ** [00056] [00057] [00057] [00058] [00059] [00079]
**ἀδελφοί** [00002]
**ἀδελφοκτονήσας** [00101]
**ᾅδη** [00013]
**ᾅδη** [00015]
**ᾅδης** [00013]
**ἀδίκου** [00027]
**ἀδίκων** [00116]
**ἀεὶ** [00117]
**ἀέρα** [00054]
**ἀέρι** [00054]
**ἀζύμοις** [00114]
**ἀθανασίας** [00029]
**ἀθεμιτουργήσαντες** [00101]
**αἱ** [00095] [00103] [00106]
**αἷμα** [00063] [00068] [00068] [00069] [00070] [00102]
**αἵματι** [00063]
**αἱμοβόρον** [00094]
**αἱμοῤῥοοῦσαν** [00032]
**αἴνιγμα** [00093]
**αἰσθητὸς** [00098]
**αἰσχύνης** [00036]
**Αἴτιος** [00015]
**αἰχμαλωσίαν** [00011]
**αἰῶνας** [00117]

**αἰωνίου** [00024] [00113]
**αἰώνων** [00117]
**ἀκαθάρτων** [00011]
**ἀκάνθαις** [00083]
**ἀκάνθας** [00077] [00079] [00080]
**ἀκοίμητος** [00012]
**ἀκολουθούσης** [00104]
**ἄκοντες** [00089]
**ἄκτιστον** [00114]
**ἀλήθειαν** [00040]
**ἀληθείας** [00114]
**ἀληθῶς** [00007]
**ἀλλ** [00040] [00067] [00100] [00114] [00115]
**Ἀλλ** [00034]
**ἀλλὰ** [00035] [00057] [00062] [00067] [00094] [00099] [00112]
**ἄλλα** [00032]
**Ἀλλὰ** [00053]
**ἁμαρτήσαντας** [00057]
**ἁμαρτίᾳ** [00020]
**ἁμαρτία** [00013]
**ἁμαρτίαι** [00095]
**ἁμαρτίαν** [00055] [00076] [00082]
**ἁμαρτίας** [00063]
**ἁμαρτωλῶν** [00116]
**Ἀμήν** [00092] [00118]
**ἀμνὸς** [00037]
**ἀμοιβάς** [00031]
**ἀμοιρῆσαι** [00068]
**ἀμφοτέρων** [00057]
**ἀναισθητοῦσι** [00106]
**ἀνακαλέσηται** [00076]
**ἀναξίας** [00031]
**ἀναστάσει** [00091] [00115]
**ἀναστάσεως** [00012] [00113] [00117]
**ἀνάστασιν** [00009] [00011]
**ΑΝΑΣΤΑΣΙΝ** [00001]
**ἀνατρέχουσιν** [00013]
**ἀνδράσιν** [00057]
**ἀνδρὶ** [00062]
**ἀνεζωοποίησε** [00032]
**ἀνεξικάκως** [00048]
**ἀνθρώποις** [00047] [00055] [00082]
**ἄνθρωπον** [00053]
**ἄνθρωπος** [00024] [00026]
**ἀνθρώπων** [00030] [00044] [00052]
**ἀνίσταται** [00112]
**ἀνίστησιν** [00112]
**ἀνομίαν** [00099]
**ἀνταπέδωκεν** [00023]
**ἀνταποδώσομεν** [00023]
**ἀντελοιδόρει** [00038]
**ἀντὶ** [00047]
**ἀντιλέγων** [00037]
**ἀντιτασσόμενος** [00037]
**ἄξια** [00032]
**ἄξιον** [00022]
**ἀπαλείψῃ** [00063] [00082]
**ἀπειλάς** [00052]
**ἀπελάμβανε** [00031]
**ἅπερ** [00090]
**ἀπέστρεψε** [00036]
**ἀπήλαυνε** [00032]
**ἀπιστίας** [00053]
**ἄπιστος** [00088]
**ἀπίστους** [00040]
**ἀπιστοῦσι** [00107]
**ἀπίστων** [00071]
**ἀποδείξῃ** [00068]
**ἀποθανὼν** [00112]
**ἀπολάβωμεν** [00063]
**ἀπολλυμένους** [00017]
**ἀποτυφλωθέντες** [00096]
**ἀπόφασις** [00057]
**ἄρτων** [00032]
**ἀρχάγγελος** [00062]
**ἀρχῆς** [00016]
**ἀρχισυναγώγου** [00032]
**ἀσέβειαν** [00098]
**ἀσέβημα** [00102]
**ἀσεβοῦντας** [00098]
**ἀσθενὴς** [00048]
**ἀτιμίας** [00027]
**ἄτοπον** [00098]
**αὐτὰ** [00049]
**Αὕτη** [00007] [00113]
**αὐτῇ** [00008] [00062]
**αὕτη** [00062]
**αὐτὴν** [00101] [00101] [00102]
**αὐτῆς** [00101]
**αὐτοὶ** [00101]
**αὐτὸν** [00037] [00042] [00068] [00112]
**αὐτόν** [00042]
**αὐτὸς** [00045]
**αὐτοῦ** [00005] [00035] [00035] [00036] [00063] [00068] [00068] [00089] [00095] [00117]
**αὐτοὺς** [00053]
**αὐτῷ** [00072] [00075] [00078] [00085] [00088] [00088] [00089]
**αὐτῶν** [00045] [00046] [00057] [00095] [00108]
**ἀφείλετο** [00019]
**ἀφίεται** [00110]
**ἄφωνος** [00037]
**ἀχαρίστοις** [00047]
**ἄψυχα** [00107]

**βαπτισθῇ** [00064]
**βαπτίσματος** [00062] [00065] [00068] [00068]
**βασιλείαν** [00068] [00089] [00094]
**βασιλεὺς** [00050]
**βασκανίας** [00033]
**Βλασφημούμενος** [00038]
**βλασφήμων** [00034]
**βλέπειν** [00032]
**βοήσωμεν** [00009]

**Γαβριὴλ** [00062]
**γὰρ** [00007] [00012] [00016] [00032] [00040] [00053] [00057] [00058] [00062] [00063] [00066] [00068] [00069] [00080] [00082] [00087] [00094] [00094] [00098] [00101] [00103] [00104] [00109] [00111]
**γέγονε** [00024] [00059] [00070] [00087]
**γέγονεν** [00067] [00087]
**γέεννα** [00012]
**γενέσθαι** [00024]
**γενναίως** [00052]
**γενόμενον** [00068]
**γενόμενος** [00021] [00051]
**γεωργεῖν** [00080]
**γεωργηθεῖσαν** [00083]
**γῇ** [00099]
**γῆν** [00083] [00098] [00101]
**γῆς** [00013] [00030] [00089]
**γιγάντων** [00101]
**γλύκασμα** [00087]
**γλῶσσα** [00091]
**γόνυ** [00091]
**γοῦν** [00050]
**γραφῶσιν** [00095]
**γυναῖκα** [00056]
**γυναικὸς** [00082] [00082]
**γυναιξίν** [00057]
**γυνὴ** [00059]

**δαίμονας** [00032] [00044] [00054]
**Δαιμόνιον** [00043]
**δαιμόνων** [00011]
**δαμάλεως** [00069]
**δὲ** [00009] [00012] [00015] [00031] [00033] [00033] [00033] [00039] [00044] [00045] [00046] [00048] [00051] [00056] [00057] [00057] [00059] [00060] [00068] [00084] [00091] [00093] [00095] [00096] [00097] [00099] [00099] [00105] [00112] [00116] [00117]
**δέ** [00088]
**δειχθῇ** [00108]
**δεσμῶν** [00013]
**Δεσπότην** [00097]
**Δεσπότης** [00025]
**δημιουργόν** [00097]
**δημιουργὸς** [00067]
**δι** [00024] [00081]
**Διὰ** [00012] [00052] [00062] [00071] [00074] [00077] [00088] [00103]
**διὰ** [00028] [00029] [00032] [00040] [00055] [00056] [00057] [00060] [00061] [00066] [00076] [00082] [00083] [00084] [00088] [00109]
**διάβολον** [00073]
**διάβολος** [00013]
**διαβόλου** [00011] [00013] [00019]
**διαβόλῳ** [00013]
**διδάσκαλος** [00051]
**διδάσκουσα** [00099]
**διετέλεσεν** [00047]
**δικαιοσύνης** [00098]
**δικαίων** [00116]
**δικαίως** [00039]
**διὸ** [00100]
**διόλου** [00047]
**δίχα** [00068]
**διώκεται** [00013]
**δόξα** [00117]
**δόξαν** [00091]
**δόξης** [00050]
**δοξολογούμενος** [00050]
**δόξωμεν** [00049]
**δορυφορούμενος** [00048]
**δουλείας** [00027]
**δούλου** [00025]
**δούλους** [00020]
**δράκοντος** [00086]
**δρωμένων** [00099]
**δυνάμεών** [00050]
**δωρούμενος** [00047]

**Ἐὰν** [00071] [00074] [00077] [00084] [00088]
**ἑαυτῆς** [00097] [00100]
**ἑαυτὸν** [00039]
**ἐβάρησεν** [00101] [00102]
**ἐβασίλευσεν** [00057]
**Ἐβλασφήμουν** [00042]
**ἐγγὺς** [00004]
**ἐγεννήθη** [00082]
**ἐγήγερται** [00005]
**ἐγονυπέτουν** [00088]
**ἐγυμνώθη** [00109]
**ἐδίδου** [00035]
**Ἔδωκαν** [00095]
**ἐζωοποίησε** [00018]
**ἐθεράπευε** [00032]
**ἐθεράπευεν** [00045]
**Εἰ** [00069]
**εἰ** [00061]
**εἰδότες** [00090]
**εἴδωλα** [00101]
**εἰλικρινείας** [00114]
**εἶναι** [00016]
**εἰπὲ** [00072] [00075] [00078] [00085] [00088]
**εἰπεῖν** [00022]
**εἴπῃ** [00071] [00074] [00077] [00084] [00088]
**εἰπόντα** [00109]
**εἰρήνης** [00117]
**εἰς** [00013] [00016] [00032] [00035] [00035] [00045] [00049] [00054] [00068] [00068] [00091] [00111] [00112] [00114] [00114] [00117]
**ΕΙΣ** [00001]
**εἰσελθεῖν** [00068]
**εἶτα** [00058]
**ἐκ** [00005] [00016] [00021] [00032] [00032] [00044] [00056] [00063] [00082] [00104] [00112]
**ἐκαθάριζε** [00032]
**ἐκεῖθεν** [00111]
**ἐκείνη** [00087] [00093]
**ἐκεῖνο** [00087]
**ἐκείνοις** [00047]
**ἐκεῖνος** [00080]
**Ἐκκλησίαν** [00111]
**ἐκλονεῖτο** [00099]
**ἑκουσίως** [00096]
**ἐκρεμάσθη** [00055] [00074]

**ἐκρέματο** [00065]
**ἐκριζώσῃ** [00079]
**ἐκτελῶν** [00065]
**ἐκχυθὲν** [00102]
**ἔλεγον** [00042]
**ἐλευθεροῦνται** [00013]
**ἐλευθέρους** [00020]
**ἐλευθερώσῃ** [00068] [00081]
**ἔλθωμεν** [00049]
**ἐλίθαζον** [00033] [00046]
**ἐλπίδας** [00068]
**ἐμιμήσατο** [00034]
**ἐμόλυναν** [00101]
**ἐμὸν** [00087] [00087]
**ἐμπτυσμάτων** [00036]
**ἔμψυχοι** [00107]
**ἐν** [00002] [00008] [00013] [00054] [00059] [00076] [00091] [00095] [00109] [00113] [00114] [00114] [00117]
**ἐναντίον** [00037]
**ἐνδεικνυμένη** [00099]
**ἐνδόξως** [00115]
**ἐνεδύσατο** [00088]
**ἐνέπτυον** [00045]
**ἐνομίζετο** [00048]
**ἐνύγη** [00056]
**ἐξ** [00016] [00101]
**ἐξαλείψας** [00020]
**ἐξαπατηθεῖσα** [00059]
**ἐξέληται** [00027]
**ἐξεμέσωμεν** [00086]
**ἐξηγόρασεν** [00021]
**ἐξῆλθε** [00057]
**ἐξομολογήσεται** [00091]
**ἑορτάσωμεν** [00114]
**Ἑορτάσωμεν** [00006]
**ἑορτὴ** [00113]
**ἑορτῆς** [00015]
**ἐπαρθῆναι** [00054]
**ἔπασχεν** [00051]
**ἐπεδείκνυτο** [00094]
**ἐπεδείξατο** [00053]
**Ἐπειδὴ** [00057] [00068]
**ἐπειρῶντο** [00033]
**ἐπηρτημένων** [00068]
**ἐπὶ** [00030] [00032] [00033] [00037] [00040] [00040] [00050] [00053] [00055] [00057] [00065] [00067] [00074] [00089] [00098]
**ἐπιγείων** [00091]
**ἐπιεικείας** [00051]
**ἔπιεν** [00084]
**Ἔπινον** [00104]
**ἐπισκιάσαντος** [00062]
**ἐπλάσθη** [00058]
**ἐποίησε** [00016]
**ἐποίησεν** [00007] [00020]
**ἐποίουν** [00096]
**ἐπουρανίων** [00091]
**ἔπραττον** [00090]
**ἔργα** [00053]
**ἐργάσηται** [00083]
**ἔργοις** [00117]
**ἔρημος** [00110]
**ἐρήμωσις** [00108]
**ἐρχόμενον** [00115]
**ἐρῶ** [00003]
**ἐσταυρώθη** [00071]
**ἐσταύρωσαν** [00053]
**ἐστὶν** [00113]
**ἐστιν** [00103]
**ἐσχίζοντο** [00103]
**Ἐσχίσθη** [00109]
**ἐσχίσθησαν** [00106]
**ἔσωσε** [00017]
**ἐτάφη** [00029]
**ἐτεκνώσατο** [00062]
**ἕτερον** [00093]
**ἕτερος** [00065]
**Ἔτι** [00098]
**Εὔα** [00057] [00058]
**Εὔαν** [00057]
**εὐεργετῶν** [00030] [00047]
**εὐηγγελίσατο** [00062]
**εὑρεθέντας** [00117]
**εὐφρανθῶμεν** [00008]
**ἐφ** [00100]
**Ἐφ** [00022]
**ἐφαίνετο** [00026]
**ἐφόρεσεν** [00025] [00077]
**ἔφυγεν** [00099]
**ἔφυγον** [00066]
**ἐχαλέπαινε** [00100]
**ἐχαρίζετο** [00032] [00046]
**Ἔχει** [00093]
**ἔχειν** [00053]
**ἔχεις** [00043]
**ἐχόντων** [00068]
**ἐχόρτασεν** [00032]
**ἔχρανεν** [00101]
**ἐχρῆν** [00068]

**Ζαχαρίου** [00102]
**ζύμῃ** [00114]
**ζωήν** [00029]
**ζωῆς** [00028] [00113]
**ζωοποιῷ** [00117]
**ζῶσα** [00103]

**ἡ** [00007] [00029] [00057] [00057] [00059] [00062] [00062] [00062] [00087] [00093] [00097] [00099] [00101] [00103] [00105] [00108] [00113]
**ἤγαγον** [00033]
**ἤγειρε** [00032]
**ἤγετο** [00050]
**ἡγησάμενος** [00098]
**ἠγνόησε** [00097]
**ἡδέως** [00006]
**ἠθέλησε** [00040]

ἤλαυνεν [00044]
ἦλθεν [00040]
ἦλθον [00111]
ἥλιον [00098]
ἥλιος [00098] [00099]
ἡμᾶς [00016] [00020] [00021] [00022] [00024] [00024] [00027] [00081] [00081] [00117]
ἡμεῖς [00052] [00086] [00112]
ἡμέρα [00007]
ἡμέρας [00010]
ἡμερωτέραν [00083]
ἡμετέραν [00009]
ἡμῖν [00015] [00015] [00023] [00051]
ἡμῶν [00001] [00020] [00021] [00028] [00032] [00034] [00063] [00070]
ἦν [00007]
ἣν [00064] [00065] [00068] [00099] [00105]
ἤνεγκε [00057]
ἠνείχετο [00100]
ἠνέσχετο [00028] [00054]
ἠπατήθη [00059]
ἠπάτησεν [00057]
ἠπείλει [00038]
ἠπόρησεν [00067]
ἠρήμωται [00111]
Ἡσαΐας [00062]
ηὐδόκησε [00024]
ἤχθη [00037]

θαλάσσης [00032]
θάνατε [00014]
θανατηφόρον [00086]
θάνατον [00050]
θάνατος [00057]
θανάτου [00024] [00024]
θανοῦσαν [00032]
θαύματα [00053]
θαύματος [00032]
θέλοντες [00089]
θέλουσα [00100]
θέλων [00081]
θεομάχων [00031]
Θεὸς [00024] [00026] [00099] [00117]
θεοστυγεῖς [00100]
θεοστυγῶν [00053]
Θεοῦ [00091]
Θεῷ [00013]
θεωρήσας [00098]
θνητοῖς [00029]
θυγατέρα [00032]

ἴαμα [00087]
ἰάσατο [00032]
ἰάσηται [00055]
ἰδίας [00083]
ἰδίου [00081]
Ἰδοὺ [00110]
ἱερῷ [00111]
Ἰησοῦ [00001]
Ἰησοῦς [00032] [00034] [00067] [00081] [00091]
ἵνα [00024] [00027] [00029] [00049] [00053] [00054] [00055] [00057] [00062] [00063] [00064] [00068] [00081] [00082] [00083] [00095] [00103] [00108] [00112]
Ἵνα [00073] [00076] [00079] [00086] [00089]
ἰὸν [00086]
Ἰουδαῖοι [00033] [00042] [00045] [00046] [00089] [00102]
Ἰουδαίους [00100]
Ἰουδαίων [00031] [00034] [00066] [00094] [00106] [00111]
ἴσως [00048]
ἰώμενος [00030]

καθ [00020] [00063]
καθαρισθῶμεν [00063]
κάθαρσιν [00069]
καθάρσιον [00070]
καθὼς [00062]
κακίαν [00034]
κακίας [00114]
κακῶν [00047] [00068]
κακῶς [00083]
κάλαμον [00095]
καλοῖς [00117]
καλῶν [00015]
κάμψει [00091]
κἂν [00053]
κατ [00057]
καταδίκης [00081]
κατακρημνίζειν [00033]
καταξιώσειε [00117]
καταπέτασμα [00108] [00109]
κατάρα [00021]
κατάρας [00021]
καταχθονίων [00091]
κατεδικάσθη [00080]
Κάϊν [00101]
κείροντος [00037]
κεκοιμημένων [00112]
κεκοινωμένους [00069]
κέντρον [00015]
κεφάλαια [00049]
κεφαλαίῳ [00113]
κηρύξωμεν [00009] [00010] [00011]
κηρυχθῇ [00062]
κινηθέντες [00033]
κλονεῖται [00107]
κοκκίνην [00088]
κολάσαι [00040]
κρεμάμενος [00067]
κρεμαμένου [00098]
κρεμασθεὶς [00053]
κρίνοντι [00039]
κτίσις [00097]
Κύριον [00033] [00115]
Κύριος [00004] [00005] [00007] [00032] [00034] [00044] [00091]

**Κυρίου** [00001] [00041]
**Κυρίῳ** [00002] [00023]

**Λάζαρον** [00032]
**λαμπρότητος** [00115]
**λάμψη** [00062]
**λέγειν** [00053]
**λέγοντες** [00049]
**λέγουσι** [00013]
**λεπροὺς** [00032]
**ληστὴν** [00068] [00068]
**ληστὴς** [00064]
**ληφθεῖσαν** [00056]
**λίμνη** [00065]
**λόγον** [00049]
**Λόγος** [00026]
**λόγχη** [00056]
**λοιδορίας** [00048]
**λοιπὸν** [00108]
**λύτρον** [00068]
**λυτρώσηται** [00027]

**μάθε** [00041]
**μαθηταί** [00066]
**μάθωμεν** [00057] [00112]
**μάθωσιν** [00103]
**μακροθυμίας** [00040]
**μακρόθυμος** [00044]
**μᾶλλον** [00009] [00070] [00096]
**μανίαν** [00053]
**Μαρίας** [00061]
**μαρτυρεῖ** [00062]
**μάστιγας** [00035]
**μέγα** [00102]
**μεγάλην** [00041]
**μεγάλου** [00064]
**μεγίστην** [00098]
**μεθ** [00117]
**μείζονα** [00053]
**μέλλουσα** [00062]
**μελλούση** [00091]
**μὲν** [00012] [00016] [00030] [00032] [00033] [00054] [00090] [00096] [00116]
**μέντοι** [00115]
**μεριμνᾶτε** [00004]
**μετ** [00005]
**μετανοήσαντα** [00068]
**μετέβαλε** [00032]
**μετέβησαν** [00111]
**μετενόησεν** [00064]
**μέχρι** [00024] [00057]
**μηδὲν** [00004]
**μηκύνειν** [00049]
**μήτε** [00053]
**μιαροῖς** [00047]
**μονογενὴς** [00024]
**μονογενοῦς** [00117]
**μόνον** [00057] [00094] [00099]
**μόνος** [00112]
**μορφὴν** [00025]
**μυσταγωγίαν** [00065]
**μυστήρια** [00032] [00113]
**μυστήριον** [00062]
**μυστηρίου** [00064]
**Μωϋσέως** [00057]

**ναμάτων** [00067]
**ναοῦ** [00108]
**ναῷ** [00109]
**νεκροῦται** [00013]
**νεκρωθέντας** [00018]
**νεκρῶν** [00005] [00011] [00032] [00112] [00113]
**νέκρωσιν** [00011]
**νῖκος** [00014]
**νόμου** [00021]
**νυγείσης** [00068]
**Νῦν** [00090]
**νῦν** [00017] [00117]
**νῶτον** [00035]

**ξύλου** [00055] [00055] [00074] [00076]
**ξύλῳ** [00050]

**ὁ** [00004] [00005] [00007] [00015] [00015] [00025] [00026] [00026] [00028] [00034] [00044] [00046] [00048] [00050] [00050] [00054] [00057] [00057] [00062] [00064] [00065] [00067] [00068] [00071] [00088] [00098] [00098] [00099] [00099] [00101] [00105] [00110]
**Ὁ** [00032] [00117]
**ὁδηγῆσαι** [00040]
**οἱ** [00013] [00013] [00042] [00066] [00089] [00096] [00101] [00107] [00111]
**οἰκονομηθῇ** [00062]
**οἶκος** [00110]
**οἶνον** [00032]
**οἷόν** [00068]
**οἷς** [00022]
**ὄμβρος** [00065]
**Ὁμιλία** [00001]
**ὁμολογήσωσι** [00089]
**ὁμοούσιον** [00114]
**ὁμοούσιος** [00026]
**ὁμοῦ** [00070]
**ὄντας** [00020]
**ὄντος** [00016]
**ὄξος** [00084] [00087]
**ὀρθοδόξῳ** [00117]
**ὅσον** [00102]
**ὅτι** [00053] [00057] [00091] [00099] [00103] [00112]
**Οὐ** [00040] [00099]
**οὐ** [00057] [00065] [00065] [00094] [00102]
**οὗ** [00117]

**οὐδ** [00101] [00101] [00101]
**οὐκ** [00034] [00036] [00037] [00037] [00038] [00038] [00059] [00062] [00065] [00065] [00067] [00090] [00097] [00100] [00112]
**οὐκέτι** [00115]
**οὖν** [00006] [00052] [00054] [00062] [00071] [00081] [00096]
**οὐρανίου** [00115]
**οὐρανοὺς** [00013]
**οὗτοι** [00106]
**Οὗτος** [00016]
**οὗτός** [00103]
**οὗτος** [00017] [00020]
**οὕτω** [00083] [00101]
**οὕτως** [00053] [00101] [00101] [00102]
**Οὐχ** [00101]
**οὐχ** [00065] [00068]
**ὀφείλομεν** [00052]
**ὀφθαλμοὺς** [00098]
**ὄφις** [00057]
**ὄχλος** [00005]

**παθεῖν** [00028]
**πάθη** [00030]
**πάθος** [00057]
**πάλαι** [00055]
**πάλιν** [00003] [00088] [00115]
**πᾶν** [00091]
**παναγίῳ** [00117]
**πανηγύρεως** [00015]
**πανηγυρίζομεν** [00113]
**πάντα** [00081] [00111]
**Πάντας** [00112]
**πάντας** [00117]
**πάντες** [00066]
**πάντοτε** [00002]
**πάντων** [00015] [00023] [00070]
**παραβάσει** [00059]
**παραβῆναι** [00057]
**παράδεισον** [00063]
**παραδείσῳ** [00076]
**παρακοῆς** [00083]
**παραμένοντες** [00111]
**παρανόμων** [00098]
**παρεδίδου** [00039]
**παρεσκεύασεν** [00057]
**παρέχων** [00051]
**παρήγαγεν** [00016]
**παρῆν** [00030]
**παρουσίᾳ** [00040]
**πᾶσα** [00091]
**Πάσχα** [00113]
**πάσχων** [00038]
**πασῶν** [00050]
**Πατέρα** [00114]
**Πατρί** [00026]
**Πατρός** [00091]
**παύσῃ** [00053]
**πενθεῖ** [00013]
**πεντακισχιλίους** [00032]
**πέντε** [00032]
**πεπλανημένους** [00040]
**πεποίηκεν** [00032]
**περὶ** [00023] [00113]
**περιεπάτησε** [00032]
**πέτρα** [00103] [00105]
**πέτραι** [00103] [00106]
**πέτρας** [00104]
**Πηγάζει** [00063]
**πηγὴ** [00029] [00065]
**πίστει** [00117]
**πιστεύοντας** [00112]
**πιστεύοντες** [00114] [00115]
**πλάσαντες** [00101]
**πλείονα** [00053]
**πλευρὰ** [00057] [00062]
**πλευρὰν** [00056]
**πλευρᾶς** [00056] [00063] [00068]
**πλήσσεται** [00062]
**Πνεῦμα** [00114]
**πνεύματα** [00013]
**Πνεύματι** [00117]
**πνευματικὴ** [00103]
**πνευματικῆς** [00104]
**Πνεύματος** [00062]
**Ποίας** [00061]
**ποιήματος** [00081]
**πόλει** [00111]
**Πολλὰ** [00112]
**πολλὰ** [00032] [00049]
**πολλὴν** [00032]
**πολὺς** [00005]
**πονηρὰ** [00013]
**πονηρίας** [00114]
**πονηρῶν** [00052]
**πόσῳ** [00070]
**ποτὲ** [00033] [00033]
**Ποῦ** [00014]
**ποῦ** [00015]
**πραγμάτων** [00049]
**πραέως** [00051]
**πρόβατον** [00037]
**προειρημένα** [00062]
**προήκατο** [00068]
**προνοήσασθαι** [00081]
**πρόξενος** [00015]
**πρὸς** [00042] [00069]
**προσγενομένην** [00055] [00082]
**προσγινομένην** [00076]
**προσδοκῶντες** [00115]
**προσεκύνουν** [00090]
**προσέλαβεν** [00026]
**προσηλοῦται** [00050]
**προσιόντες** [00088]
**προσκύνησις** [00117]
**προσκυνήσωσιν** [00089]
**προσκυνούμενος** [00050]

**προσφεύγοντες** [00013]
**πρόσωπον** [00036] [00045]
**πρόφασιν** [00053] [00062]
**προφήτην** [00035]
**πρώτῃ** [00040]
**Πρῶτον** [00054]
**πρῶτος** [00058]
**πυργοποιία** [00101]
**πυρὸς** [00012]

**ῥαντίζουσα** [00069]
**ῥαπίσματα** [00035]
**ῥήγνυται** [00108]
**ῥύσηται** [00024]

**σάλπιγγος** [00115]
**σάρκα** [00026]
**σαρκὶ** [00028]
**σαρκὸς** [00069]
**σβέννυται** [00012]
**σεμνὰ** [00111]
**σεμνὴ** [00113]
**Σεραφὶμ** [00050]
**σιαγόνας** [00035]
**σκληραὶ** [00103]
**σκοτίσας** [00098]
**σκώληξ** [00012]
**Σοδομῖται** [00101]
**σοί** [00071]
**σοι** [00074] [00077] [00084] [00088]
**σου** [00014] [00015]
**σποδὸς** [00069]
**σταυρὸν** [00033] [00050]
**σταυροῦ** [00053] [00065] [00067] [00098]
**σταυρούμενον** [00096]
**σταυρούμενος** [00099]
**σταυρωθῆναι** [00054]
**σταυρώσῃ** [00073]
**στένειν** [00080]
**στεφανοῦται** [00083]
**σύμμορφος** [00026]
**συνελθοῦσα** [00062]
**συνεργεῖν** [00098]
**συνηγέρθη** [00112]
**σφαγὴν** [00037]
**σωθήσεται** [00060]
**σώματα** [00112]
**Σωτὴρ** [00068]
**Σωτῆρα** [00062]
**σωτηρίαν** [00009] [00011] [00057]
**σωτηρίου** [00010]
**Σωτῆρος** [00009] [00045] [00070] [00098]
**σωφρόνως** [00006]

**τὰ** [00030] [00049] [00062] [00101] [00107] [00109] [00111] [00113]
**ταῖς** [00083]
**ταπεινῶς** [00115]
**ταράττεται** [00013]
**τὰς** [00031] [00035] [00052] [00068] [00079]
**ταύρων** [00069]
**Ταῦτα** [00096]
**ταῦτα** [00027] [00051] [00113]
**ταύτην** [00062]
**ταύτης** [00015]
**τε** [00006] [00015] [00050] [00051] [00068] [00097]
**τεκνογονίας** [00060] [00061] [00061]
**τελευτᾷ** [00012]
**τελευταῖον** [00033] [00037]
**Τέλος** [00050]
**τετραήμερον** [00032]
**τῇ** [00020] [00040] [00056] [00091] [00095] [00111] [00115]
**ΤΗΝ** [00001]
**τὴν** [00009] [00009] [00010] [00011] [00011] [00011] [00011] [00032] [00032] [00034] [00040] [00041] [00041] [00041] [00053] [00055] [00056] [00056] [00057] [00062] [00065] [00068] [00069] [00076] [00082] [00083] [00089] [00094] [00098] [00098] [00099] [00101] [00111] [00111]
**τῆς** [00010] [00012] [00015] [00019] [00021] [00027] [00027] [00028] [00029] [00050] [00053] [00056] [00060] [00061] [00063] [00063] [00068] [00069] [00083] [00083] [00098] [00106] [00117] [00117]
**τητα** [00041]
**Τί** [00023]
**τί** [00071] [00074] [00077] [00084] [00088] [00088]
**τιμὴ** [00117]
**τιμωρήσασθαι** [00040]
**τις** [00071]
**τιτρώσκεται** [00057]
**τὸ** [00014] [00015] [00016] [00020] [00032] [00032] [00036] [00037] [00045] [00046] [00057] [00062] [00063] [00068] [00069] [00070] [00087] [00094] [00098] [00102] [00102] [00108] [00109]
**Τοιγαροῦν** [00114]
**τοῖς** [00029] [00046] [00047] [00055] [00082]
**τόλμημα** [00098]
**τολμήσαντες** [00102]
**τὸν** [00032] [00033] [00033] [00035] [00035] [00046] [00049] [00050] [00054] [00057] [00062] [00063] [00066] [00068] [00068] [00068] [00073] [00086] [00096] [00097] [00098] [00109] [00115]
**τόπος** [00065]
**Τοῦ** [00001]
**τοῦ** [00009] [00011] [00012] [00013] [00016] [00019] [00021] [00032] [00037] [00041] [00045] [00053] [00056] [00057] [00062] [00062] [00063] [00065] [00068] [00070] [00079] [00081] [00086] [00098] [00098] [00108] [00113] [00117]
**τοὺς** [00040] [00040] [00044] [00045] [00047] [00054] [00057] [00069] [00079] [00098] [00100] [00112] [00117]
**τοῦτο** [00028] [00029] [00052] [00057] [00102] [00103]
**τράγων** [00069]
**τρέμειν** [00080]
**τρέχειν** [00046]
**Τριάδα** [00114]
**τριβόλους** [00079] [00080]
**ΤΡΙΗΜΕΡΟΝ** [00001]
**τυραννίδος** [00019]
**τυφλοῖς** [00032]
**τυφλοὺς** [00045]
**τῷ** [00013] [00013] [00023] [00026] [00039] [00050] [00054] [00063] [00076] [00109] [00111] [00117]
**τῶν** [00011] [00011] [00011] [00013] [00015] [00025] [00030] [00031] [00034] [00044] [00049] [00050] [00052] [00053] [00066] [00068] [00068] [00070] [00071] [00094] [00098] [00099] [00101] [00111] [00112] [00116] [00116] [00117]

**ὑβριζόμενον** [00098]

**ὑβρίζοντας** [00047]
**ὕδατος** [00064]
**ὑδάτων** [00067]
**ὕδωρ** [00032] [00063] [00068]
**Υἱὸν** [00114]
**Υἱοῦ** [00117]
**ὑμῶν** [00110]
**ὑπ** [00048]
**ὑπακοῆς** [00083]
**ὑπέμεινέ** [00051]
**ὑπέμεινεν** [00027]
**ὑπὲρ** [00021]
**ὑπέστη** [00081]
**ὑπετύπου** [00094]
**ὑπήκοος** [00024]
**ὑπὸ** [00031] [00033] [00050] [00050] [00083] [00098]
**ὑπογραμμὸν** [00051]
**ὑπόμνησιν** [00010]
**ὑπομονῆς** [00040]

**φέρειν** [00052] [00100]
**φέρουσα** [00099]
**φέρων** [00048] [00098]
**φεύγει** [00098]
**φησὶν** [00104]
**φθόνου** [00033]
**φιλανθρωπίᾳ** [00117]
**φιλάνθρωπος** [00081]
**φόβον** [00066]
**φόβου** [00115] [00116]
**φονῶδες** [00094]
**φυγαδεύσῃ** [00054]
**φωτεινῶν** [00115]
**φωτίζειν** [00098]

**Χαίρετε** [00002]
**χαίρετε** [00003]
**χαρᾶς** [00115] [00116]
**χάρις** [00062]
**χαρίσηται** [00029]
**χάριτι** [00117]
**χειρὶ** [00095]
**χειρόγραφον** [00020] [00063]
**Χερουβὶμ** [00050]
**χλαμὶς** [00093]
**χλαμύδα** [00088]
**χλευάζοντες** [00090]
**χολὴ** [00087]
**Χολὴν** [00084]
**χορηγός** [00028]
**χρεία** [00064]
**χρηστό** [00041]
**Χριστιανῶν** [00011] [00070] [00113]
**χριστοκτονίαν** [00111]
**Χριστομάχοι** [00096]
**Χριστὸν** [00046] [00062] [00098]
**Χριστόν** [00109]
**Χριστὸς** [00015] [00021] [00032] [00034] [00046] [00054] [00091] [00112]
**Χριστός** [00071] [00105]
**Χριστοῦ** [00001] [00012] [00057] [00062] [00063] [00070]
**Χριστῷ** [00112]
**χωλοῖς** [00046]
**χωλοὺς** [00032]

**ψιλὸν** [00053]

**Ὣ** [00064] [00106]
**ὧν** [00024] [00044] [00081]
**ὧν** [00023]
**ὡς** [00037] [00037] [00062] [00113]
**Ὥσπερ** [00082]
**ὥστε** [00053]